# Badische Landesbibliothek Karlsruhe

**Digitale Sammlung der Badischen Landesbibliothek Karlsruhe**


## Procli De Sphaera Liber I

**Proclus <Diadochus>**

**Basiliae, 1561**

Vitae Graecorum autorum huius operis, Graece


urn:nbn:de:bsz:31-248967

Visual Library

## Vitæ Græcorum Autorum huius Operis, Græcè.

# VITA PROCLI, EX SVIDA.

Πρόκλος ὁ λύκιος, μαθητὴς συριανοῦ, ἀκουστὴς δὲ καὶ πλουτάρχου τοῦ νεστορίου τοῦ φιλοσόφου, καὶ αὐτὸς φιλόσοφος πλατωνικός. οὗτος προέστη τῆς ἐν ἀθήναις φιλοσόφου σχολῆς, καὶ αὐτοῦ μαθητὴς καὶ διάδοχος χρηματίζει μαρῖνος ὁ νεαπολίτης. ἔγραψε πάνυ πολλὰ φιλόσοφά τε καὶ γραμματικά· ὑπόμνημα εἰς ὅλον τὸν ὅμηρον. ὑπόμνημα εἰς τὰ ἡσιόδου ἔργα καὶ ἡμέρας. περὶ χρηστομαθίας βιβλία γ. περὶ ἀγωγῆς β. εἰς τὴν πολιτείαν πλάτωνος βιβλία δ. εἰς τὴν ὀρφέως θεολογίαν, συμφωνίαν ὀρφέως. πυθαγόρου καὶ πλάτωνος περὶ τὰ λόγια βιβλία ι. περὶ τῶν παρ' ὁμήρου θεῶν,

θεῶν, ἐπιχειρήματα κατὰ χριστιανῶν ιη'. οὗτός ἐστι πρόκλος, ὁ δεύτερος μετὰ πορφύριον κατὰ χριστιανῶν τὴν μιαρὰν καὶ ἐφύβριστον αὐτοῦ γλῶσσαν κινήσας. πρὸς ὃν ἔγραψεν ἰωάννης ὁ ἐπικληθεὶς φιλόπονος, πάνυ θαυμασίως ἀπαντήσας, κατὰ τῶν ιη' ἐπιχειρημάτων αὐτοῦ. καὶ δείξας αὐτὸν κἂν τοῖς ἑλληνικοῖς ἐφ' οἷς μέγα ἐφρόνει, ἀμαθῆ καὶ ἀνόητον. ἔγραψε πρόκλος μητρωακὴν βίβλον. ἣν εἴ τις μετὰ χεῖρας λάβοι, ὄψεται ὡς οὐκ ἄνευ θείας κατακωχῆς τὴν περὶ τὸν θεὸν θεολογίαν ἐξεφώνησεν ἅπασαν, ὡς μηκέτι θράττεσθαι τὴν ἀκοὴν ἐκ τῶν ἀπεμφαινόντων θρήνων.

# ΑΡΑΤΟΥ

## ΒΙΟΣ.

Ἄρατος πατρὸς μὲν ἦν ἀθηνοδώρου, μητρὸς δὲ ληνοδώρας, ἐκ σόλων τῆς κιλικίας. ὠνόμασθαι δὲ ἡ πόλις ἀπὸ σόλωνος τοῦ λινδίου. ἔστι δὲ ἡ νῦν πομπηϊόπολις. ἦν δὲ ἐπὶ πτολεμαίου τοῦ φιλαδέλφου. καὶ ἐσχό-

λασε

λασε Διονυσίῳ τῷ Ἡρακλεώτῃ. συνῆν δὲ Ἀντιγόνῳ τῷ Μακεδόνων βασιλεῖ, καὶ Φίλᾳ τῇ τούτου γαμετῇ, συνήκμασε δὲ Ἀλεξάνδρῳ τῷ Αἰτωλῷ, καὶ Καλλιμάχῳ, καὶ Μενάνδρῳ, καὶ Φιλητᾷ. ἀδελφοὺς δὲ εἶχε τρεῖς, Μυρεῖν, Καλώνδαν, καὶ Ἀθηνόδωρον, ὃς πρῶτος ἀντειπεῖν λέγεται Ζωΐλῳ τῷ κατὰ τῆς Ὁμηρικῆς ποιήσεως γράψαντι. σχολάσας δὲ ὁ Ἄρατος Περσαίῳ τῷ φιλοσόφῳ Ἀθήνησι, καὶ συνελθὼν αὐτῷ εἰς Μακεδονίαν μεταπεμφθέντι ὑπ' Ἀντιγόνου, καὶ παρελθὼν εἰς τὸν αὐτὸν Ἀντιγόνου καὶ Φίλας γάμον, καὶ εὐδοκιμήσας, τὸ λοιπὸν τοῦ χρόνου διέτριψεν ἐκεῖσε. ἦν δὲ ὁ Ἀντίγονος υἱὸς Δημητρίου τοῦ Πολιορκητοῦ, καὶ παρέλαβε τὴν ἀρχὴν περὶ ἑκατοστὴν καὶ πέμπτην ὀλυμπιάδα, καθ' ἣν Πτολεμαῖος ὁ Φιλάδελφος Αἰγύπτου ἐβασίλευσεν. ὥστε καὶ θρυλλούμενόν ἐστιν ὑπό τινων, ὡς ἦν κατὰ τὸν αὐτὸν χρόνον Νικάνδρῳ τῷ Κολοφωνίῳ τῷ τὰ Θηριακὰ γράψαντι. λέγουσί τε περιτεῖναι ἀλλήλοις, ὁ μὲν Νικάνδρῳ σκέψασθαι τὰ Φαινόμενα, ὁ δὲ Ἀράτῳ τὰ Θηριακά. τοῦτο δὲ καταφανῶς ἐστι ψεῦδος. ὁ γὰρ Νίκανδρος δώδεκα ὅλαις ὀλυμπιάσι νεώτερος φαίνεται. ἔνιοι δέ φασι τὸν Ἄρατον Μνασέου πατρὸς γεγονέναι, Ἀριστοθήρου δέ τινος μαθηματικοῦ διακοῦσαι, ἰατρὸν δὲ προηγου-

μένως

μένως καὶ ποιητὴν γενέσθαι ἐν τοῖς Ἀντιγόνου βασιλείοις. γηραιῷ δὲ τῷ Κυρηναίῳ ἐπέβαλλεν. παρ' οὗ καὶ τοῦ γράμματος ἠξιώθη. συνήκμασε δὲ Νικάνδρῳ μαθηματικῷ, καὶ αὐτῷ Κολοφωνίῳ, θεραπεύοντι ἅμα αὐτόν. ζηλωτὴν δέ φασὶ τοῦτον γενέσθαι Ὁμήρου. οἱ δὲ, Ἡσιόδου μᾶλλον.

# ΓΕΝΟΣ ΔΙΟΝΥΣΙΟΥ, ΕΚ ΤΩΝ ΕΥΣΤΑΘΙΟΥ.

Ὁ δὲ Διονύσιος, Λίβυς μὲν ἱστορεῖται τὸ γένος. συγγράψαι δὲ καὶ ἄλλα βιβλία λέγεται, λιθιακά τε καὶ ὀρνιθιακὰ, καὶ Βασσαρικά. ὧν τὰ μὲν λιθιακὰ ἐνεκρίθησαν καὶ αὐτὰ διὰ τὴν τοῦ χαρακτῆρος ὁμοιότητα. τὰ δὲ Βασσαρικὰ διὰ τὴν τραχύτητα οὐκ ἄξια τούτου κριθέντα, εἰς τὸν Σάμιον ἀνήχθησαν Διονύσιον. τὰ δὲ ὀρνιθικὰ ἄλλον τινὰ Φιλαδελφέα Διονύσιον. ὃν διὰ λέξεων ἀκυρολογίαν, ἐπεκάλουν ὑπόκενον. τὸ δὲ παρὸν ποίημα ἱστορικὸν καλοῦσιν

λοῦσιν οἱ παλαιοὶ, συγκείμενον ἐκ τοπικοῦ καὶ πραγματικοῦ, καὶ χρονικοῦ, καὶ γενεαλογικοῦ, εἰς ἃ διαιρεῖσθαι τὴν ἱστορίαν φασίν. ἐκ μὲν τοπικοῦ, ὅτι καὶ ὁ πᾶς ἐνταῦθα τοῦ βιβλίου σκοπὸς, τόπων γῆς ἦν περιήγησις. πραγματικοῦ δὲ, ἐν οἷς ἄλλα τέ τινα ἱστορεῖ, καὶ ἐθνῶν ἔθη ἐκτίθεται. χρονικοῦ δὲ, ὡς ὅτε καιροῦ μέμνηται, καθ' ὃν αὐτὸς προῆν, ὅτι δηλαδὴ οὐκ ἐπὶ τῶν ὑπάτων, ἀλλ' ἐπὶ τῶν ἀνάκτων. γενεαλογικοῦ δὲ, οἷον ὅτε τοὺς σαυρομάτας ἐξ ἀμαζόνων εἴπῃ καταγεσθαι, καὶ ἐκ δούλων τοὺς ἐπιζεφυρίους λοκρούς. οἱ δ' αὐτοὶ παλαιοὶ ἐπαινοῦσι, καὶ τὸ προοίμιον τοῦ βιβλίου ὡς τούτου τὰς ὑπερβαλλούσας ἔχον ἀρετάς. φασὶ γὰρ ὅτι ἀρεταὶ προοιμίων, περιοχὴ, προσοχὴ, καὶ συμπάθεια. ὧν ἡ μὲν περιοχὴ, τέλος ἔχει τοῦ προεκθέσθαι τὸν τοῦ ἑξῆς λόγου σκοπόν. ἡ δὲ προσοχὴ ἐπιστρέφει τὸν ἀκροατὴν, καὶ ὅλον εἶναι τοῦ ἔργου ποιεῖ. ἡ δὲ συμπάθεια, καὶ πρὸς συγγνώμην, καὶ πρὸς ἐπιείκειαν τοῦ λέγοντος προκαλεῖται τοὺς ἀκροατάς. καὶ διονύσιος οὖν φασι σκοπὸν τοῦ βιβλίου ἐν προοιμίῳ ἀπέφηνε, εἰπὼν τὸ, μέλλειν γαῖάν τε καὶ εὐρέα πόντον ἀείδειν. προσοχήν τε ἐποίησε κινήσας τὸν τοῦ ἀκροα-

τοῦ νοῦ, ὡς ἤδη μεγάλῃ τῇ ὑποσχέσει. οὐ μὴν δὲ ἀλλὰ καὶ περιοχὴν κεφαλαιώδη τοῦ ὅλου βιβλίου τούτῳ τῷ τρόπῳ ἐξέθετο. ἐν δὲ τῷ, ἀνδρῶν ἄκριτα φῦλα, συμπάθειαν ἐξεκαλέσατο, καὶ ἐφειλκύσατο, οἷα συγγνώμης τευξόμενος, εἴπερ φανείη ἀσθενὴς περὶ τὴν τῶν οὕτω πολλῶν καὶ ἀκρίτων ὑφήγησιν. πολὺ δὲ τὸ σαφὲς ἡ παροῦσα ποίησις ἔχει, καὶ μάλιστα τὸ εὐκρινές, ὡς προείρηται, οὐ μόνον διὰ τῶν ἐπαναλήψεων καθάπερ ἔφαμεν, καὶ τῶν συχνῶν συμπληρώσεων, ἀλλὰ καὶ διὰ τὸν πυκνῶν προεκθέσεων. ὅπου γε καὶ τρόπους διδασκαλίας ὁ Διονύσιος ἐν πολλοῖς ἐκτίθεται δι' εὐκρίνειαν προλέγων, ὅτι τριῶς δὲ τὸ διδασκαλικὸν προχειρίσεται. πολλαχοῦ δὲ καὶ προσέχειν προκαλεῖται τὸν ἀκροατὴν, ὡς ἂν μὴ ἐξυπνιάζων αὐτὸς νομίζοι περιηγεῖσθαι τοῦτον ἀδιευκρίνητον. πολὺ δὲ καὶ τὸ κάλλος ἔχει τὸ συγγραμμάτιον τοῦτο, καὶ οὐδενὸς ὅλως ἀμοιρεῖ τῶν πολλῶν ποιητικῶν καλῶν τὸ μικρὸν τῆς ποιήσεως τοῦτο σωμάτιον. εἰ δέ τινας ἔχει καὶ κήρας βραχυτάτας, καθάπερ σῶμα καλὸν δοθιῶνάς τινας οὐ προφανεῖς τοῖς πολλοῖς, ἢ λειχῆνας παρεμπεφυκότας, καὶ οὐκ ἐν καιρίῳ, ἀφ' ὧν ἥκιστα τὸ πολὺ

πολὺ

πολὺ τοῦ κάλλους ἀχρειοῦνται, σκεπτέσθωσαν οἱ περίεργοι, καὶ οὐ πάνυ φιλόκαλοι. ἡμεῖς γὰρ οὐ μυῖαι τοῖς ἕλκεσιν ἐφιζάνουσαι, μέλισσαι δὲ τοῦ τῶν μουσῶν λειμῶνος τὸ κάλλιστον ἀπανθίζουσαι.

ΤΕΛΟΣ.